**γενικὰ μέτρα**

Hephaest. 77. 19 sqq. ἰστέον ὅτι Ἡφαιστίων φυσικὰ μέτρα γενικὰ βούλεται εἶναι ἐννέα· δακτυλικόν, ἀναπαιστικόν, ἰαμβικόν, τροχαϊκόν, ἀντισπαστικόν, χοριαμβικόν, ἰωνικὸν ἀπὸ μείζονος, ἰωνικὸν ἀπ᾽ ἐλάττονος, κρητικόν· τὰ δὲ παρὰ ταῦτα καλεῖ ἀσυνάρτητα καὶ συγκεχυμένα.

Arist. Qvint. *de mus.* I 24 (p. 47. 26 sqq. Winnington-Ingram) τοῦ δὲ γενικοῦ δακτυλικοῦ πεποιήκασιν οἱ μὲν ταῦτα εἴδη· δίμετρον τρίμετρον τετράμετρον πεντάμετρον· βαίνουσι δέ τινες αὐτὸ καὶ κατὰ συζυγίαν ποιοῦντες τετράμετρα καταληκτικά· τινὲς δὲ κἀν ταῖς πρώταις χώραις μόναις ἀμείβοντες τὸν δάκτυλον καὶ τοὺς ἀνισοχρόνους αὐτῷ τῶν δισυλλάβων τιθέντες ποιοῦσι τὰ καλούμενα λογαοιδικά.

Choerob. 222. 24 sqq. ὁμοίως δὲ (*scil.* τοῖς δισυλλάβοις) καὶ ἐν τοῖς τρισυλλάβοις ὀκτὼ ὄντων τῶν ποδῶν δύο μόνοι εἰσὶ ἀποτελεστικοὶ μέτρων, ὁ δάκτυλος καὶ ὁ ἀνάπαιστος, ὅθεν καὶ περὶ αὐτῶν μόνων διαλαμβάνει ὁ τεχνικός, περί τε δακτυλικοῦ μέτρου κατ᾽ ἰδίαν καὶ περὶ ἀναπαιστικοῦ· ἐπειδὴ οὖν ὁ στίχος ἀπὸ δακτύλου σύγκειται, εἰώθαμεν λέγειν· ‘γένους μέν ἐστι δυαδικοῦ <τετρασήμου>’. δύο γὰρ μόνοι εἰσὶ γενικοὶ καὶ ἀποτελεστικοὶ μέτρων, ὁ δάκτυλος καὶ ὁ ἀνάπαιστος. τετρασήμου δὲ εἴρηται οἱονεὶ τετραχρόνου· ἐκ μακρᾶς γὰρ καὶ δύο βραχειῶν συγκείμενος ὁ δάκτυλος τέσσαρας ἔχει χρόνους.

Trich. 381. 15 sqq. τὸ τοίνυν ἀναπαιστικὸν μέτρον καθολικὸν καὶ γενικόν ἐστι, καθὰ καὶ τὸ δακτυλικόν. καὶ τὸ μὲν αὐτοῦ ἐστι τὸ καθαρὸν ἀναπαιστικόν, ὅπερ κατὰ πᾶσαν χώραν ⏑ ⏑ – ἀνάπαιστον δέχεται καὶ – – σπονδεῖον, σπανίως δὲ καὶ ⏑ ⏑ ⏑ ⏑ προκελευσματικόν, ὅς ἐστιν ἐκ τεσσάρων βραχειῶν, καὶ – ⏑ ⏑ δάκτυλον· τὸ δὲ αἰολικὸν ἀναπαιστικόν, ὅπερ ἴαμβον δέχεται ἕνα ἐν τῇ ἀρχῇ, τοὺς δὲ λοιποὺς ὁμοίως τῷ κυρίως ἀναπαιστικῷ· τὸ δ᾽ ἄλλο λογαοιδικόν ἐστιν ἀναπαιστικόν, ὅπερ ἐπὶ τέλει οὐ τροχαϊκὴν διποδίαν, ἀλλ᾽ ἴαμβον ἕνα δέχεται καὶ μίαν συλλαβὴν μακρὰν ὡς ἐπὶ πολὺ ἢ βραχεῖαν, ὡς εἶναι τὸν τελευταῖον πόδα ἢ ⏑ – – ⏑ ἀμφίβραχυν, ἐὰν βραχεῖά ἐστιν ἡ τελευταία συλλαβή, ἢ ⏑ – – βακχεῖον, ἐὰν μακρά, ὃ δὴ καὶ ὡς ἐπὶ τὸ πλεῖστον ὡς ἔφαμεν γίνεται. [*S.D.B.*]